# ΚΑΘΗΜΕ-
## ΡΙΝΗΣ ΟΜΙΛΙΑΣ ΒΙΒΛΙΌΝ

# DE FORMVLIS
colloquiorum quotidianorum li-
bellus, quo fermè omnium quæ in ma-
nibus pu
nomē

Δὐτ

*Ex*

*Exstant apud Antonium L[illegible]ium bibliopolam*
*è regione publici Gymnasij.*

de València
Històrica
11
35

Tab. 994

2a 11
35

# ΚΑΘΗΜΕ-ΡΙΝΗΣ ΟΜΙΛΙΑΣ ΒΙΒΛΙ'ΟΝ

## DE FORMVLIS

colloquiorum quotidianorum libellus, quo fermè omnium quæ in manibus puerorum quotidie versantur nomēclaturę cōprehenduntur.

Δεύτεραι φροντίδες σοφώτεραι.




VALENTIAE,

*Ex officina Petri à Huete, in platea herbaria. 1569.*

*Exstant apud Antonium L[illegible]ium bibliopolam è regione publici Gymnasij.*

# ὩΜΙΛΙ'Α ΣΧΟΛΑΣΤΙΚΗ'.

Πρὸ τοῦ ὄρθρου ἐγρηγόρησα, ἐξ ὕπνου, ἀνέστην ἐκ τῆς κλίνης, ἐκάθισα. ἔλαβον ὑποδεσμίας, σανδάλια ὑπεδησάμην. ᾔτησα ὕδωρ εἰς ὄψιν. νίπτομαι πρῶτον τὰς χεῖρας, ἔπειτα τὴν ὄψιν ἐνιψάμην, ἀπέμαξα. ἀπέθηκα τὴν μίτραν.

Ἔλαβον χιτῶνα περὶ τὸ σῶμα. περιεζωσάμην. ἤλειψα τὴν κεφαλήν μου, καὶ ἐκτένισα. ἐποίησα περὶ τὸν τράχηλον ἀναβόλαιον. ἐνεδυσάμην ἐπενδύτην λευκόν. ἐπάνω ἐνδύομαι φαινόλην. προσῆλθον ἐκ τοῦ κοιτῶνος σὺν τῷ παιδαγωγῷ, καὶ σὺν τῇ τροφῷ, ἀσπάσασθαι τὸν πατέρα καὶ τὴν μητέρα· ἀμφοτέρους ἠσπασάμην, καὶ κατεφίλησα. καὶ οὕτω κατῆλθον ἐκ τοῦ οἴκου.

Ἀπέρχομαι εἰς τὴν σχολήν. εἰσῆλθον. εἶπον, χαῖρε καθηγητά· καὶ αὐτός με κατεφίλησε καὶ ἀντησπάσατο. ἐπιδίδωσί μοι ὁ παῖς ὁ ἐμὸς πινακίδας, θήκην, γραφεῖον. ἐξάγω γραφίδια. τῷ ἐμῷ τόπῳ καθήμενος, λεαίνω, περιγράφω πρὸς τὸν ὑπογραμμόν. γράψας δὲ δεικνύω τῷ διδασκάλῳ. διώρθωσεν, ἐχάραξεν.

Κελεύει με ἀναγινώσκειν. κελευσθεὶς, ἄλλῳ δέδωκα. ἐμάνθανον ἑρμηνεύματα. ἀπέδωκα. ἀλλ' εὐθέως ὑπαγορεύει μοι. ὑπηγόρευσέ μοι. συμμαθητὴς καὶ σύ; φησίν. εἶπον αὐτῷ, ἀπόδος πρῶτον. καὶ εἶπεν ἐμοί, οὐκ εἶδες ὅτε ἀπεδίδων πρότερόν σου; καὶ εἶπεν, ψεύδῃ, οὐκ ἀπέδωκας. οὐ ψεύδομαι. εἰ ἀληθῆ λέγεις, ἀναδίδωμι.

Ἐν τούτοις κελεύσαντος τοῦ καθηγητοῦ, ἐγείρονται οἱ μικροὶ πρὸς τὰ στοιχεῖα καὶ τὰς συλλαβάς κατέλεξεν αὐτοῖς εἷς τῶν μειζόνων. ἄλλοι πρὸς τὸν ὑποδιδάσκαλον τάξιν ἀποδιδόασιν. ὀνόματα γράφουσιν. στίχους ἔγραψαν. καὶ ἐγὼ ἐν τῇ πρώτῃ τάξει ἅμιλλαν ἐξέλαβον.

Ἔπειτα ὡς ἐκαθίσαμεν, διέρχομαι ὑπομνήματα, γλώσσας, τέχνην φωνηθεὶς πρὸς ἀνάγνωσιν, ἀκούω ἐξήγησιν, διάνοιαν, πρόσωπα. Ἐπερωτηθεὶς τέχνην, ἀπεκρίθην· πρὸς τίνα λέγεις. τί μέρος λόγου; ἔκλινα γένη ὀνομάτων. ἐμέρισα στίχον.

Ὡς δὲ ταῦτα ἐπράξαμεν, ἀπέλυσεν εἰς ἄριστον. ἀπολυθεὶς δὲ, ἐπανέρχομαι εἰς τὸν οἶκον. ἀλλάσσω. λαμβάνω ἄρτον καθαρὸν, ἐλαίας. τυρὸν, ἰσχάδας, κάρυα. πίνω ὕδωρ ψυχρόν.

Ἠριστηκὼς ἐπανέρχομαι πάλιν εἰς τὴν σχολήν. εὑρίσκω καθηγητὴν ἐπαναγινώσκοντα, καὶ εἶπεν, ἄρξασθε ἀπ᾽ ἀρχῆς.

## ΑΛΛΗ ΟΜΙΛΙΑ.

Ἤτησα ὕδωρ εἰς ὄψιν. νίπτομαι πρῶτον τὰς χεῖρας. εἶτα τὴν ὄψιν ἐνιψάμην. ἀπέμαξα. ἀπέθηκα λευκὸν φαινόλην. προσῆλθον ἐκ τοῦ κοιτῶνος σὺν τῷ παιδαγωγῷ ἀσπάσασθαι τὸν πατέρα καὶ τὴν μητέρα. ἀμφοτέρους ἠσπασάμην, καὶ κατεφίλησα, καὶ οὕτω κατῆλθον ἐκ τοῦ οἴκου.

Ἀπέρχομαι ἀσπάσασθαι πάντας τοὺς φίλους, καὶ ὁ δεσπότης περιερχόμενος ἠπήντησε τῷ φίλῳ αὐτοῦ, καὶ εἶπεν, χαίρεις Γάϊε; καὶ ἐπηρώτησεν αὐτόν, καὶ ἀντησπάσατο αὐτόν, λέγων, ἡδ[illegible] σε ἰδεῖν; τί πράττεις. πάντα ὀρθῶς; πῶς ἔχεις.

συγχαίρω σοι ὄντως ὡς ἐμοί.

Κριτήριον πρὸς τίνα; πρὸς τὸν ταμίαν. οὐκ ἐκεῖ. ἀλλὰ ποῦ; πρὸς τὸν ἀνθύπατον; οὐδὲ ἐκεῖ. ἀλλὰ πρὸς τοὺς ἄρχοντας ἐξ ὑπογραφῆς τοὺς διέποντας τὴν ἐπαρχίαν. ποταπὸν δέ ἐστιν αὐτὸ τὸ πρᾶγμα; ὃς πάνυ μέγα. ἔστι γὰρ χρημάτων, ἵν' ὅλον εἴδῃς· ἐσχολάζεις, παρέδρευσον ἡμῖν. οἱ κριταὶ γὰρ ἡμέραν ἡμῖν ἔδωκαν τὴν σήμερον. ἀπόφασις εἰρημένη. διὸ βούλομαι σοῦ παρόντος περὶ τῆς δίκης σὺν τοῖς συνηγόροις σκέψασθαι. παρέλαβες; παρέλαβον. τίνας. τοὺς σοὺς φίλους. καλῶς ἐποίησας. συνέταξας; περὶ ποίαν ὥραν. ἐν ποίῳ τόπῳ ἐν τῇ ἀγορᾷ. ἐν τῇ στοᾷ. ἐγγὺς τῆς στοᾶς τῆς νίκης. μετ' ὀλίγον ἐκεῖ ἔρχομαι. ἀλλὰ παρακαλῶ, ἐν νῷ ἔχῃς. ἀμέριμνος ἔσο· ἐμοὶ μελήσει.

Ἄγωμεν ἡμεῖς πρὸς τὸν τραπεζίτην, λάβωμεν παρ' αὐτοῦ δηνάρια ἑκατόν. δῶμεν δικαιολόγῳ τῷ μικρῷ, καὶ τοῖς συνηγόροις καὶ τῷ νομικῷ, ἵνα σπουδαιότερον ἐκδικήσωσιν ἡμᾶς. οὗτός ἐστι. λαβὲ παρ' αὐτοῦ τὸ κέρμα, καὶ ἀκολούθει, καθὼς συνεταξάμεθα.

Πάρεστι Γάϊος, συγκαλέσωμεν αὐτὸν εἰς τὴν συμβουλήν. ἐνθάδε ἔχομεν τὰ ἀσφαλίσματα. παρήγγειλας αὐτῷ; παρήγγειλα. ἐμαρτυροποίησας; ἐμαρτυροποίησα. ἕτοιμος ἔσο. ἕτοιμός εἰμι. καὶ ὁ ἀντίδικος ἐντυχεῖν ἐθέλει. σιώπησον. σιωπῶ. σιωπὴν ἔχετε. ἀκούσωμεν τὴν ἀπόφασιν. ἤκουσας ὅτι ἐνικήσαμεν;

Γαΐε κύριε, τί ὧδε πατεῖς. μὴ οὐκ ἔχεις χρήματα εὐκαιροῦντα; τί χρείαν ἔχεις δανείσασθαι. εἰ ἔχας χρῆσόν μοι πέντε δηνάρια. κἂν μὴ ἔ

χηκα, ὅθεν δήποτε ἐξεπλήσω ἄν. ἐνέχυρον θέλεις; μὴ γένοιτο. χειρογράφησόν μοι σὲ εἰληφέναι ποίοις τόκοις. οἷς θέλεις. ἐχειρογράφησα. χάριτάς σοι ὁμολογῶ. σφράγισον. ἐσφράγισα. ἀριθμῶ. δοκίμασον, ἐδοκίμασα. καθὼς ἔλαβες δόκιμον ἀπόδος. αὐτό σοι ἀποδώσω καὶ ἱκανοποιήσω.

## ἌΛΛΗ ὉΜΙΛΊΑ.

Καλὴ ἡμέρα. ἦλθες; ἦλθον. ἔλαβες; ἔδωκας αὐτῷ; ἔδωκα. μή τινος χρείαν ἔχεις; σὲ ὑγιαίνειν. ἐὰν θέλῃς, ἐλθὲ μετ' ἐμοῦ. ποῦ. πρὸς φίλον τὸν ἡμέτερον Λύκιον, ὡς ἐπισκεψώμεθα αὐτόν. τί γὰρ ἔχει. ἀρρωστεῖ. ἀπὸ πότε. ἐξ ὀλίγων ἡμερῶν ἐνέπεσε. ποῦ μένει. οὐ μακράν. περιπάτει, αὐτή ἐστιν νομίζω ἡ οἰκία. αὐτή ἐστιν. ἰδοὺ ὁ θυρωρός. ἐρώτησον αὐτὸν εἰ ἔνδον

κἄμεθα εἰσελθεῖν, καὶ ἰδεῖν τὸν κύριον αὐτοῦ. κἀκεῖνος εἶπεν, τίνα ζητεῖτε. τὸν δεσπότην σου περὶ τῆς ὑγείας αὐτοῦ ἐληλύθαμεν. ἀνάβατε· πόσας κλίμακας; δύο· εἰς τὰ δεξιὰ κρούσατε. εἰ μὲν τοίνυν, ἦλθε, προελήλυθε γάρ. κρούσωμεν. εἰδέ τί ἐστιν. χαίρετε πάντες. τὸν κύριόν σου θέλομεν ἐπισκέψασθαι. γρηγορεῖ; μήνυσόν μοι. κἀκεῖνος εἶπεν, οὐκ ἔστιν ὧδε. τί λαλεῖς. ἀλλὰ ποῦ ἐστιν. ἐκεῖ κατέβη εἰς τὸν δαφνῶνα διακινῆσαι. συγχαίρομεν αὐτῷ ὅταν ἔλθῃ. εἰπὲ αὐτῷ ἡμᾶς πρὸς αὐτὸν χαίροντας ἐληλυθέναι περὶ τῆς σωτηρίας αὐτοῦ· ὅτι πάντα ὀρθῶς ἔχει. οὕτως ποιήσω.

## ἌΛΛΗ ὉΜΙΛΊΑ

Σὺ ποῦ ὑπάγεις. εἰς τὴν οἰκίαν ἀδελφῶ. διὰ τί ἐπεζήτησας. ἄν σοι ἡδύ ἐστι, σήμερον

παρ' ἐμοὶ ἀρίστησον χρησίμως. οἴνῳ καλῷ οἰκιακῷ χρώμεθα. οὕτω γενέσθω. γν ὥρα οὖν ἐλθὲ πρὸς ἡμᾶς. ὅτε θέλεις, πέμψον πρὸς ἡμᾶς. γν τῇ οἰκίᾳ εἰμί. οὕτω γενέσθω ἡμῖν.

Σὺ παιδάριον ἀκολούθησόν μοι εἰς τὸ κρεωπώλιον. τί ποτε ἀγοράσωμεν εἰς ἄριστον. ἐπερώτησον, πόσους ἰχθύας, δηναρίων δέκα.

Σὺ παιδάριον ὕπαγε εἰς τὴν οἰκίαν, ἵνα δυνηθῶμεν ἀπελθεῖν εἰς τὸ λαχανοπώλιον, καὶ ἀγοράσας λάχανα, ἅπερ ἀναγκαῖά ἐστιν, καὶ ὀπώρας, συκάμινα, σῦκα, μῆλα περσικά, ἀπίους· βικόκκια. ἰδοὺ ἔχεις πάντα ἃ ἠγοράσαμεν, ὕπαγε εἰς τὴν οἰκίαν.

Καλεσάτω τὶς τὸν μάγειρον. ποῦ ἐστιν. ἄνω ἀνῆλθεν. καὶ τί θέλει. καταβάτω ὧδε· ἄρον, ὄψησον ἐπιμελῶς τὰ προσφάγια. ἀρτυ-

σις καλὴ γινέσθω. ἔνεγκε τὴν κλεῖδα, καὶ λύ-
χνους, γάρον περισσόν, καὶ δεύτερον ὄξος δριμύ,
γλεῦκος, οἶνον λευκὸν καὶ μέλανα παλαιόν, ξύ-
λα ξηρά, ἄνθρακας, ἀνθραλίαν, ἀξίνην, σκεύη
λοπάδα, χύτραν, λέβητα, ἐσχάραν, πῶμα, θύ-
αν. σὺ δὲ παιδάριον ὕπαγε πρὸς τὸν Γάϊον,
καὶ εἰπὲ αὐτῷ, ἐλθὲ ἐκεῖθεν. λουσώμεθα,
ὕπαγε, τρέχε ταχέως, ποίησον.

Ἐγένου πρὸς αὐτόν; ἐγενόμην ὅπου ἦν. εἰς τὴν
οἰκίαν ἐκάθητο. καὶ τί ἐποίει; ἐφιλολόγει. καὶ τί
εἶπε. ἐκδέχου με ἐρχόμενον, καὶ ἀκολουθῶ.

Ὕπαγε πάλιν. καὶ εἰπὲ αὐτῷ, πάντες ὧδε
εἰσίν, σὺν αὐτῷ ἐλθέ. ὑμεῖς τέως σύνθετε
ἐπιμελῶς τὰ ὑάλινα, καὶ τὰ χαλκώματα, τὸ
ὕδωρ ῥίψατε ἔξω. θέλω ἰδεῖν, ὡς οἱ νεανί-
σκοι. ἤδη ἔστρωσαν. πάντα ἕτοιμά ἐστιν. δυ

δέσποινα ἐλθῶν; ἀπῆλθε, εἰπὲ αὐτῷ, ὅπως ἡμᾶς ποιεῖ ἀριστῆσαι. ἰδοὺ ἦλθε. συνάντησον αὐτῷ. παρακάλεσον αὐτόν. τί ἔξω ἐστήκεις;

ἌΛΛΗ ΟΜΙΛΙ'Α.

Κατάγετε σάβανα εἰς τὸ βαλανεῖον, ξυστρὰν, προσόψιον, ποδεκμάγιον, λήκυθον· προάγετε, λάβετε τὸν τόπον· ποῦ κελεύεις· εἰς τὸ δημόσιον ἢ γὰρ τὸ ἰδιωτικῷ; ὅπου κελεύετε· ὅτε ὑπάγομεν, διηγήσομαί σοι.

ΑΛΛΗ ΟΜΙΛΙ'Α.

Ἔγειρε, ἄγωμεν. μὴ θέλεις ἐλθεῖν εἰς ἀπόπατον; καλῶς με ὑπέμνησας, ἡ κοιλία με ἐπείγει. ἄγωμεν.

ἌΛΛΗ ΟΜΙΛΙ'Α.

Λοιπὸν ἔκδυσόν με. ὑπόδυσόν με. σύνθες τὰ ἱμάτια. περίβαλε. τήρει καλῶς. μὴ

νύσαζε διὰ τοὺς κλέπτας.

Ἅρπασον ἡμῖν σφαῖραν. γυμνασθῆναι θέλω πρὸ τοῦ κηρώματος.

Δεῦρο, παλαίσωμεν διὰ χρόνου. μιᾷ ῥοπῇ. οὐκ οἶδα, οὐδὲ δύναμαι. πάλαι γὰρ πέπαυμαι τοῦ παλαίειν· ὅμως πειράζω εἰ δύναμαι. ἐλαφρῶς κεκοπίακα. ἄλειψον. ἤλειψα. ἀλείψομαι. τρίψον. ἱδροῖς. ἱδρῶ. ἐκλέλυμμαι. κατάβα. ἔξελθε λοιπόν.

Βάλλε σεαυτὸν εἰς τὴν κολυμβήθραν ὑπαίθριον. κολύμβησον. ἐκολύμβησα.

Περίχεε σαυτόν. περιέχεον. ἀνέλαβον. ἐπίδος ξύστραν. περικατάμαξόν με. κατάμαξόν μοι κεφαλὴν καὶ τοὺς πόδας. δὸς σανδάλια. ὑπόδυσόν με. ἐπίδος ὠθινάριον. καλῶς ἐλούσω. καλῶς σοι ἔστω.

## ἌΛΛΗ ΟΜΙΛΙΑ.

Δότε ὧδε θρόνους, δίφρους, βάθρον, διέδραν, προσκεφάλαιον. καθέζου. κάθημαι. τί ἑστήκεις; πλῦνον ποτήριον ὕδατι θερμῷ. συγκέρασον, πάνυ γὰρ διψῶ. κέρασον πᾶσι τίς τί θέλει· ἢ ἀρτυτὸν, ἢ καρυωδὸν, αὐτῷ ἐκείνῳ κέρασον.

Σὺ τί θέλεις. πλῦνον ποτήριον. κέρασόν μοι θερμὸν, μὴ ζεστὸν, μήτε χλιαρὸν, ἀλλὰ συγκέρασον. βάλλε νεαρόν. πρόσθες ἄκρατον.

Τί ἑστήκετε. καθέζεσθε. ἐὰν θέλετε ἀναπέσωμεν. ποῦ κελεύεις. ἐν πρώτῳ τόπῳ ἀνάπεσον. δός μοι γαβάθας μαλάχας ζεστάς· ἐπίδος μοι χειρομάγιον· κομίσατε· ἴδε εἰ ἔχεις πολὺ κέρατον. ἐπίβαπτε. χρῶμαι. χρῶ. δὸς σῦκον τὸ τρυφερὸν, κίχλας, γαλίκρεας, θρί-

δακας. εἷς ἐξ ὑμῶν ἄρτον κλάσῃ. κλάσον ψωμούς. διακονήσατε. πάντως ἐκεῖνος ἄξιός ἐστι παρ' ἡμῖν διακονῆσαι. δὸς ταρίχιον, τριχίδας, λώβια, ὄρμινον μετὰ γάρου, γογγυλωτὸν, ὄρνιν ὀπτὴν, ψιλήπλευρα διαζωμοῦ, τεμαχια, δέλφακα ὀπτόν.

Θὲς τὸν δίσκον μετὰ τρωξίμων, ῥαφάνους, ἡδύοσμον, ἐλαίας λευκὰς, καὶ τυρὸν νεαροπαστὸν, οἴδνα, μύκητας. τοῖς ὑπηρετήσασι δότε διακονῆσαι. καὶ τῷ μαγείρῳ καὶ τραγήματα, ὅτι καλῶς ὑπηρέτησε. δότε ὕδωρ εἰς χεῖρας. κατάμαξον τὴν τράπεζαν.

Πρόσφατον δὸς ἁπλοπότην. δὸς ἄκρατον· κέρασον θερμὸν εἰς τὸ μεῖζον, εἰς τὸ μικρὸν, ἡδέως. ἐλπίζω γὰρ ἄλλην ἰδεῖν σε, ἐὰν ὠθ[illegible]ρέπῃς. προπίνω σοι. καλῶς. λαμβάνω ἀπὸ σοῦ

ἡδέως. διὰ τί οὐ πίνεις; πίε κύριε. ἤτηκα, καὶ οὐδεὶς μοὶ δέδωκε.

Δός ἡμῖν γλυκέα πλακοῦντα. ἀρκεῖ ἡμῖν.

Ἄγωμεν λοιπόν. ἆψον λαμπάδα, λαβέ. καλῶς ἡμᾶς εἶχες.

Παιδίον ἐλθὲ, σύλλεξον ταῦτα πάντα, τοῖς ἰδίοις τόποις ἀπόθου ἐπιμελῶς.

Στρῶσον τὴν κλίνην. ἐστρώσαμεν. καὶ δὴ αὐτὸ σκληρόν ἐστιν. ἐξετινάξαμεν καὶ προσκεφάλαιον ἐμαλάξαμεν. ἐπειδὴ γὰρ ὀκνηρῶς ἃ ἀνγκαῖά εἰσιν.

Μηδεὶς ἔξω διανυκτερεύῃ, ἢ ἐξέλθῃ. ἐὰν τινος φωνῆς ἀκούσω, οὐ συγχωρήσω.

Ἀναλάβετε ὑμᾶς. κοιμᾶσθε, καὶ ἀλεκτρυοφωνίᾳ μὲ ἐξυπνήσατε, ἵνα ἐκδράμω.

Τέλος.

Univ
B

Universitat de Va
Biblioteca Histò

Z-11
35